ξύλον σκολιὸν καὶ ὄζοις συμπεφυκός,
λαβὼν ἔγλυψεν ἐν ἐπιμελείᾳ ἀργίας αὐτοῦ
καὶ ἐμπειρίᾳ συνέσεως ἐτύπωσεν αὐτό,
ἀπείκασεν αὐτὸ εἰκόνι ἀνθρώπου
14 ἢ ζῴῳ τινὶ εὐτελεῖ ὡμοίωσεν αὐτὸ
καταχρίσας μίλτῳ καὶ φύκει ἐρυθήνας χρόαν αὐτοῦ
καὶ πᾶσαν κηλῖδα τὴν ἐν αὐτῷ καταχρίσας
15 καὶ ποιήσας αὐτῷ αὐτοῦ ἄξιον οἴκημα
ἐν τοίχῳ ἔθηκεν αὐτὸ ἀσφαλισάμενος σιδήρῳ.
16 ἵνα μὲν οὖν μὴ καταπέσῃ, προενόησεν αὐτοῦ
εἰδὼς ὅτι ἀδυνατεῖ ἑαυτῷ βοηθῆσαι·
καὶ γάρ ἐστιν εἰκὼν καὶ χρείαν ἔχει βοηθείας.
17 περὶ δὲ κτημάτων καὶ γάμων αὐτοῦ καὶ τέκνων προσευχόμενος
οὐκ αἰσχύνεται τῷ ἀψύχῳ προσλαλῶν
καὶ περὶ μὲν ὑγιείας τὸ ἀσθενὲς ἐπικαλεῖται,
18 περὶ δὲ ζωῆς τὸ νεκρὸν ἀξιοῖ,
περὶ δὲ ἐπικουρίας τὸ ἀπειρότατον ἱκετεύει,
περὶ δὲ ὁδοιπορίας τὸ μηδὲ βάσει χρῆσθαι δυνάμενον,
19 περὶ δὲ πορισμοῦ καὶ ἐργασίας καὶ χειρῶν ἐπιτυχίας
τὸ ἀδρανέστατον ταῖς χερσὶν εὐδράνειαν αἰτεῖται.

14 1 Πλοῦν τις πάλιν στελλόμενος καὶ ἄγρια μέλλων διοδεύειν κύματα
τοῦ φέροντος αὐτὸν πλοίου σαθρότερον ξύλον ἐπιβοᾶται.
2 ἐκεῖνο μὲν γὰρ ὄρεξις πορισμῶν ἐπενόησεν,
τεχνῖτις δὲ σοφία κατεσκεύασεν·
3 ἡ δὲ σή, πάτερ, διακυβερνᾷ πρόνοια,
ὅτι ἔδωκας καὶ ἐν θαλάσσῃ ὁδὸν
καὶ ἐν κύμασι τρίβον ἀσφαλῆ
4 δεικνὺς ὅτι δύνασαι ἐκ παντὸς σῴζειν,
ἵνα κἂν ἄνευ τέχνης τις ἐπιβῇ.
5 θέλεις δὲ μὴ ἀργὰ εἶναι τὰ τῆς σοφίας σου ἔργα·
διὰ τοῦτο καὶ ἐλαχίστῳ ξύλῳ πιστεύουσιν ἄνθρωποι ψυχὰς
καὶ διελθόντες κλύδωνα σχεδίᾳ διεσώθησαν.
6 καὶ ἀρχῆς γὰρ ἀπολλυμένων ὑπερηφάνων γιγάντων
ἡ ἐλπὶς τοῦ κόσμου ἐπὶ σχεδίας καταφυγοῦσα
ἀπέλιπεν αἰῶνι σπέρμα γενέσεως τῇ σῇ κυβερνηθεῖσα χειρί.

$13^3$ εν > SAV† | αργιας] εργασιας ASc† | $13^4$ συνεσ.] ανεσεως BS*A | $13^5$ απεικ.] + τε A || $14^1$ ωμοιωσεν] pr. αφ S | $14^2$ χροας S*Bc† | $14^3$ fin.] + γη Sc || $15^1$ αυτου > SV† || $17^1$ προσευχομ.] προσ > S || $18^2$ ικετευει > S† | $18^3$ οδοιποριας]ποριας S*† || $19^1$ περι δε] και περι Sc, και περι δε S*† | $19^2$ αιτειται] επικαλειται S*†: ex $17^3$

14 $1^2$ πλοιου] ξυλου A || $4^1$ δυνασαι / εκ παντος] tr. S† | παντων A | $4^2$ ινα > Sc | καν] και A || $5^1$ σου > SV† || $6^3$ υπελιπεν S*† | αιωνι] pr. τω B*S†